# TEZAUR LITURGIC

## 3 IANUARIE
## GHERASIM MIKRAGHIANANITUL

# SLUJBA SF.CUVIOASE TOMAIDA DE LA LESBOS

ATENA,2020


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 03 ΙΑΝΟΥΑΡΙΟΥ
# Μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν Θωμαΐδος τῆς Λεσβίας τῆς Θαυματουργοῦ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ς'. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τῆς Ἁγίας.

Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ὡς τῷ φόβῳ τοῦ Κτίσαντος, τὴν ψυχὴν καθηλώσασα, βίον Μῆτερ ἔνθεον πεπολίτευσαι ταῖς ἀρεταῖς διαλάμψασα, καὶ τρόπων χρηστότητι, θεραπεύσασα Θεόν, Θωμαῒς ἀξιάγαστε· διὰ τοῦτό σε, ὁ Σωτὴρ χαρισμάτων δαψιλείᾳ καὶ θαυμάτων ἐνεργείᾳ, ὡς εὐεργέτης ἐδόξασε.

Ὡς φυτὸν Θεοδώρητον, καὶ εὐχῆς θεῖον βλάστημα, ἐπεδόθης πάνσεμνε τοῖς σὲ φύσασιν· ἡ γὰρ πανάχραντος Δέσποινα, ὀφθεῖσα ἐδήλωσε, τῇ ἀκάρπῳ σου μητρί, τὴν ἁγίαν σου γέννησιν, προτυπώσασα, Θωμαῒς τὴν λαμπρὰν καρποφορίαν, τῆς ἀμέμπτου βιοτῆς σου, καὶ ἀρετῶν τὴν ἐπίδοσιν.

Ἐντολαῖς τοῦ Παντάνακτος, τὴν ζωήν σου ἰθύνουσα, ἀκλινὴς διέμεινας καὶ ἀκράδαντος, τῆς τοῦ συζύγου σκαιότητος, ὁρμὴν τὴν ἀλόγιστον, καὶ τὴν γνώμην τὴν

σκληράν, οὐρανίῳ φρονήματι, ὑπομένουσα, καὶ όσίως τελέσασα τον βίον, Θωμαΐς κατηξιώθης, τῆς τῶν ῾Αγίων λαμπρότητος.

Τὸ τῆς Λέσβου καλλώπισμα, ἀρετῶν τὸ κειμήλιον, ἐναρέτων πράξεων τὸ θησαύρισμα, συζυγικῆς συμβιώσεως, εἰκόνα τὴν ἔμψυχον, καὶ στερρᾶς ὑπομονῆς, τὴν λαμπρὰν ὑποτύπωσιν, καὶ ὑπόδειγμα, γυναικῶν αἱρουμένων ζῆν ἀμέμτως, Θωμαΐδα τὴν Ὁσίαν, ᾀσματικῶς μακαρίσωμεν.

Χαρισμάτων τοῦ Πνεύματος, θησαυρὸς πολυτίμητος, σοῦ τὸ θεῖον λείψανον ἀναδέδεικται· πηγὰς θαυμάτων γὰρ ἔβλυζεν, ἰώμενον ἅπαντας, τοὺς προστρέχοντας πιστῶς, ἀφθαρσίας τῇ χάριτι, ὑπὲρ ἔννοιαν, δοξασθὲν Θωμαΐς θαυματοφόρε, ἐπινεύσει τοῦ Σωτῆρος, τοῦ σὲ λαμπρῶς θαυμαστώσαντος.

Τῷ τιμίῳ λειψάνῳ σου, βασιλὶς ἡ τῶν πόλεων, πάλαι ἡγιάζετο Θείῳ Πνεύματι· νῦν δὲ ἡμεῖς τὴν πρεσβείαν σου, πλουτοῦντες πανεύφημε, ὡς θερμὴν καταφυγήν, πειρασμῶν τε καὶ θλίψεων, ἐκλυτρούμεθα, ἐξαιρέτως δὲ Λέσβος ἡ πατρίς σου, Θωμαΐς ἀγαλλομένη, τοῖς σοῖς σεπτοῖς προτερήμασι.

Δόξα. Ἦχος πλ. β'.

Σήμερον τῆς τοῦ Χριστοῦ ἐπιφανείας, προτυποῦσα τὴν ἔλλαμψιν, ἡ τῆς Ὁσίας Θωμαΐδος μνήμη, τῇ Εκκλησίᾳ ἐπέφανεν· ἐν ἔργοις γὰρ φωτὸς διαλάμψασα, τοῦ θείου νόμου ταῖς ἀκτῖσι λαμπρύνει, τοὺς βοῶντας πρὸς αὐτήν· χαίροις τῶν ἀρετῶν στολισαμένη τὴν εὐπρέπειαν, τῶν γεηρῶν φρονημάτων, ἀποβαλοῦσα τὸ

ἄχθος· χαίροις συζυγικῆς κοινωνίας τίμιον ἄγαλμα, καὶ ἀληθοῦς καρτερίας, στηλογραφία λαμπρά· χαίροις τῆς Λέσβου θρέμμα ἱερόν, καὶ τοῦ Θεοῦ θεοφόρος θεράπαινα· Ὢ πρέσβευε Ὁσία Μῆτερ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν.Ὁ αὐτός. Προεόρτιον.

Ἔρχεται πρὸς Ἰορδάνην, Χριστὸς ἡ ἀλήθεια, τοῦ βαπτισθῆναι ὑπὸ Ἰωάννου, καὶ φησὶ πρὸς αὐτόν. Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; οὐ τολμῶ ὁ χόρτος προσψαῦσαι τῷ πυρί· σύ με ἁγίασον Δέσποτα, τῇ θείᾳ ἐπιφανείᾳ σου.

Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.(Κεφ, λα', λα'.10.-20, 25)

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις.Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς, κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς. Τὰς χεῖρας αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τοὺς δὲ πήχεις αὐτῆς ἐρείδει εἰς

ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.(Κεφ. ε' 15. ς' 3)
Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν· λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν· συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς, ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν ὅτι

ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ ὑψίστου.

Σοφίας Σολομῶντος τὸ ᾿Ανάγνωσμα.(Κεφ. δ' 7 - 11)
Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώτοις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος, ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

᾿Ιδιόμελα. ῏Ηχος α'.

Εὐφραίνεται ἐνθέως, ἡ σὲ βλαστήσασα Λέσβος, καυχωμένη τῇ δόξῃ σου, Θωμαΐς μακαρία· ἐν γὰρ τῷ νόμῳ τοῦ Θεοῦ, ἀμέμπτως βιώσασα, ὡς ἀδάμας ὑπέμεινας, τὰς ἐν τῷ βίῳ θλίψεις· ἀνθ᾽ ὧν δόξης ἀληθοῦς, παρὰ Θεοῦ ἀξιωθεῖσα, τύπον ἀπαράμιλλον τὸν σὸν βίον ἔλιπες, τοῖς ὑπό ζυγὸν συμβιοῦσιν, ἐν εὐσεβείᾳ καὶ σεμνότητι. ᾿Αλλ' ὡς ἔχουσα παρρησίαν,

πρὸς Χριστὸν Ὁσία, δίδου ἀεὶ ὑπομονήν, τοῖς πόθῳ σε γεραίρουσι.

Ἦχος β'.

Ἐπαγγελίας θεϊκῆς, καρπὸς ὀφθεῖσα τοῖς σὲ βλαστήσασιν, ἀξίως τῆς χάριτος, τῷ κόσμῳ διέπρεψας· τοῖς γὰρ ἐπηγγελμένοις ἀγαθοῖς, τὸν σὸν βίον ῥυθμίζουσα, τὸ εὐγενές σου τῆς ψυχῆς, ἀκηλίδωτον ἔσωσας, ἐκ πάσης φαυλότητος· καὶ τοῦ εὐνέτου τῷ θυμῷ, τὴν σὴν γαλήνην παραθεῖσα, τὸν φρυαττόμενον δράκοντα, ἐφαύλισας Ὁσία· διό σε μακαρίζομεν, Θωμαῒς παμμακάριστε.

Ἦχος γ'.

Μαρτυρικὴν στερρότητα, ἐνδεικνυμένη Ὁσία, οὐδαμῶς σεσάλευσαι, τῆς κρείττονος στάσεως, ἐν πραΰτητι ψυχῆς, Θεὸν δοξάζουσα· καὶ ὡς χρυσὸς ἐν καμίνῳ δοκιμασθεῖσα, ταῖς ποικίλαις θλίψεσι, συζυγικῇ ἀπηνείᾳ, ὑπὲρ ἥλιον ἔλαμψας, ἀναστροφῇ ἁγίᾳ καὶ καλῶν ἔργων δυνάμεσι· καὶ πάσας παιδεύεις, τὰς ὑπὸ χεῖρα ἀνδρὸς τελούσας, σωφρόνως βιοῦν, καὶ ἐν φρονήσει διάγειν, τὰ πρέποντα γυναιξίν, ἐπαγγελλομέναις θεοσέβειαν. Ἀλλ' ὦ Θωμαῒς ἀξιάγαστε, ἀπαύστως ἱκέτευε, ὑπὲρ τῶν τιμώντων σε.

Ἦχος δ'.

Ἄνω ἔχουσα τὸν νοῦν, καὶ τῆς καρδίας τὴν ἔφεσιν, σωματικῶν ἀλγηδόνων οὐκ ἐφρόντισας, ἐν ταπεινώσει πολλῇ, καὶ εἰρήνῃ λογισμῶν, τὴν σὴν ζωὴν διανύουσα, καὶ καρποφοροῦσα Κυρίῳ, τοὺς καρποὺς τῆς πίστεως. Ὅθεν λαμπρῶς ἐδοξάσθης, καὶ ζῶσα καὶ μετὰ τέλος,

Θωμαῒς πανθαύμαστε· τὸ γὰρ σεπτόν σου σῶμα, ἄφθαρτον πιστοῖς ἐδόθη, ὑπὲρ λόγον καὶ νόμον τῆς φύσεως, τρανῶς κηρῦττον, ἣν εὗρες δόξαν παρὰ Θεοῦ τοῦ παρέχοντος διὰ σοῦ, ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα. Ὁ αὐτός.

Τὴν τοῦ Θεοῦ θεοειδῆ θεράπαιναν, καὶ τῶν σεμνῶν γυναίων, τὸ ἔξοχον ἐγκαλλώπισμα, Θωμαΐδα τὴν Ὁσίαν, ὕμνοις καὶ ᾠδαῖς, εὐφημήσωμεν ἅπαντες· αὕτη γὰρ γυνὴ ἀνδρεία, κατὰ τὸν σοφὸν ὤφθη Σολομῶντα· καὶ ἐν ἔργοις ἀγαθοῖς εὐδοκιμήσασα, πίστιν ἔσχεν ἀληθῆ, ἀγάπην ἀνόθευτον, ζῆλον ἔνθεον, καὶ ὑπομονὴν ἐν πᾶσι, καὶ καρτερίαν ἀρραγῆ· δι' ὧν Θεῷ μὲν εὐηρέστησεν, ὀρθοῦ βίου δὲ ὑπογραμμὸν παρατίθησι, τοῖς ἐν συζυγίᾳ βιοῦσι· καὶ πᾶσιν αἰτεῖται, εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Ὁ αὐτός. Προεόρτιον.

Ὢ τοῦ παραδόξου θαύματος! ὁ ἐν Πνεύματι ἁγίῳ βαπτίζων καὶ πυρί, ἐν Ἰορδάνῃ ἔρχεται βαπτισθῆναι ὑπὸ Ἰωάννου· Θεὸς οὐ γυμνός, οὐδὲ ἄνθρωπος ψιλός, ἀλλ' ἐν δυσὶ ταῖς φύσεσιν, εἷς ὁ αὐτὸς Υἱὸς μονογενής· ζητῶν μὲν τὸ βάπτισμα, ὡς ἄνθρωπος ἐκ θνητοῦ, αἴρων δὲ ὡς Θεός, τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχων πᾶσι τὸ μέγα ἔλεος.

Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Βίον ἀκηλίδωτον, ἐν ἀγαθῇ συνειδήσει, καὶ πολλῇ χρηστότητι, καὶ ψυχῆς θερμότητι πρὸς τὸν Κύριον,

Θωμαῒς πάνσεμνε, εὐσεβῶς βιοῦσα, τοῦ συζύγου τὴν ὠμότητα, στερρῶς ὑπήνεγκας, ὥσπερ ἄλλου πάσχοντος ἔνδοξε, φρονήσει διαπρέπουσα, καὶ δοξολογίᾳ πρὸς Κύριον· ὅθεν ἐδοξάσθης, πλουσίαις δωρεαῖς παρὰ Θεοῦ, καὶ τῶν θαυμάτων ἀπείληφας, Μῆτερ τὴν ἐνέργειαν.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον.

Πλήρης θείων πράξεων, ἐν ταπεινώσει καρδίας, ὡς ἐλαία εὔκαρπος, Θωμαῒς ὑπάρχουσα θείῳ ἔρωτι, πρὸς Θεὸν ἔδραμες, ἐν ἀγαλλιάσει, καὶ τὸ τίμιόν σου λείψανον, πιστοῖς κατέλιπες, πλῆρες εὐωδίας τοῦ Πνεύματος, πηγάζον χάριν ἄφθονον, καὶ παθῶν διῶκον τὴν κάκωσιν· ὅθεν σε τιμῶμεν, ὡς σκεῦος οὐρανίων ἀρετῶν, καὶ δυσωποῦμεν πρεσβεύειν σε, ὑπὲρ τῶν τιμώντων σε.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν.

Λέσβος ἡ περίφημος, ὡς εὐωδέστατον ἄνθος, Μῆτερ σὲ βλαστήσασα, τῇ ὀσμῇ εὐφραίνεται τῶν χαρίτων σου, Θωμαῒς πάνσεμνε, γυναικῶν ἡ δόξα, συζυγίας καὶ σεμνότητος, κανὼν εὐθύτατος, καὶ περιφανὴς ὑποτύπωσις· διό σε μακαρίζομεν, καὶ τὴν σὴν γεραίρομεν κοίμησιν, ὡς ἂν ταῖς εὐχαῖς σου, ῥυώμεθα σκανδάλων χαλεπῶν, καὶ ἐν εἰρήνῃ διάγωμεν, πᾶσαν τὴν ζωὴν ἡμῶν.

Δόξα. Ἦχος πλ. δ'.

Ἐν εὐσταθείᾳ ἀρραγεῖ, ὑποταγεῖσα τῷ θείῳ θελήματι, τὸν ἐχθρὸν ὑπέταξας, ἐν τοῖς ποσί σου θεόληπτε· τὰς ἐν βίῳ γὰρ πικρὰς ἐπιφοράς, ὡς εὐσεβείας στάδιον

τελέσασα, τῆς αἰωνίου ζωῆς τὸν κλῆρον, ἐπαξίως εἴληφας. Καὶ νῦν τῆς δόξης τοῦ Θεοῦ, ἀνακεκαλυμμένως τρυφῶσα, πρέσβευε Θωμαῒς μακαρία, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός.

Ἰωάννη Βαπτιστά, ὁ ἐν μήτρᾳ γνωρίσας με τὸν ἀμνόν, ἐν ποταμῷ μοι διακόνησον, μετ' Ἀγγέλων μοι λειτούργησον· ἐκτείνας ἅψαι τῇ παλάμῃ, τῆς κορυφῆς μου τῆς ἀχράντου· καὶ ὅταν ἴδῃς τὰ ὄρη τρέμοντα, καὶ τὸν Ἰορδάνην ἐπαναστραφέντα, σὺν τούτοις βόησον. Ὁ ἐκ Παρθένου σαρκωθείς, εἰς ἡμῶν σωτηρίαν, Κύριε δόξα σοι.

Νῦν ἀπολύεις, τὸ τρισάγιον,καὶ τὸ ἀπολυτίκιον.

Ἦχος δ᾽. Ταχὺ προκατάλαβε.

Τὰς θλίψεις τοῦ βίου σου, ὡς προσφορὰν λογικήν, Χριστῷ προσενέγκασα, τὴν τῶν θαυμάτων ἰσχύν, Ὁσία ἀντείληφας. Ὅθεν ὡς συζυγίας, ὑποτύπωσιν θείαν, μέλπομεν Θωμαΐς σε, καὶ πιστῶς σοι βοῶμεν· χαῖρε τῆς νήσου Λέσβου, σεμνὸν ἐγκαλλώπισμα.

Προεόρτιον,

Ἦχος ὁ αὐτός. Κατεπλάγη Ἰωσήφ.

Ἑτοιμάζου Ζαβουλών, καὶ εὐτρεπίζου Νεφθαλείμ. Ἰορδάνη ποταμέ, στῆθι ὑπόδεξαι σκιρτῶν, τοῦ βαπτισθῆναι ἐρχόμενον τὸν Δεσπότην. Ἀγάλλου ὁ Ἀδάμ, σὺν τῇ Προμήτορι· μὴ κρύπτετε ἑαυτούς, ὡς ἐν Παραδείσῳ τὸ πρίν· καὶ γὰρ γυμνοὺς ἰδὼν ὑμᾶς

ἐπέφανεν, ἵνα ἐνδύσῃ τὴν πρώτην στολήν. Χριστὸς ἐφάνη, τὴν πᾶσαν κτίσιν, θέλων ἀνακαινίσαι.

Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α'. Στιχολογίαν. Κάθισμα.

Ἦχος α'. Τὸν τάφον σου Σωτήρ,

Ὡς δῶρα ἐκλεκτά, τὰς σεπτὰς ἀρετάς σου, προσήγαγες Χριστῷ, Θωμαΐς μακαρία, ἐν θλίψεσιν ἀνύσασα, τὴν ζωήν σου θεόληπτε· ὅθεν σύσκηνος, τῶν ἀπ᾽ αἰῶνος Ἁγίων, ἀναδέδειξαι, μεθ' ὧν ἱκέτευε Μῆτερ, ὑπὲρ τῶν τιμώντων σε.

Προεόρτιον. Ὅμοιον.

Προέρχεται σαρκί, ὁ τῶν ὅλων Δεσπότης, ἐν ῥείθροις ποταμοῦ, βαπτισθῆναι θελήσει, τὸν ῥύπον τῶν ψυχῶν ἡμῶν, ἐκκαθάραι δι' ἔλεος. Προεόρτιον, τούτῳ προσοίσωμεν αἶνον, καὶ δοξάσωμεν, σὺν τῷ Προδρόμῳ τῷ θείῳ, αὐτοῦ τὴν χρηστότητα.

Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα.

Ἦχος γ'. Τὴν ὡραιότητα.

Ἀνδρείως ἔφερες, τὰς τοῦ συζύγου σου, πληγὰς καὶ μώλωπας καὶ πικρὰ σκώμματα, ἐν ἀπηνείᾳ χαλεπῇ, καὶ γνώμῃ θηριοτρόπῳ, Θωμαΐς πανθαύμαστε, καὶ τὸν δόλιον ἔκτεινας, τῇ ἀπαρατρέπτῳ σου, τῆς ψυχῆς καρτερότητι· διὸ καὶ θαυμαστῶς ἐδοξάσθης, παρὰ Χριστοῦ τοῦ στεφοδότου .

Προεόρτιον. Ὅμοιον.

Χριστὸς ὡς ἄνθρωπος, ἐλθεῖν ἐπείγεται, πλούτῳ χρηστότητος, ἐπὶ τὸ βάπτισμα, πρὸς Ἰορδάνην ποταμόν, ἐκπλύνων με ρυπωθέντα· δεῦτε ὑπαντήσωμεν, τῇ αὐτοῦ ἀγαθότητι, ὕμνον προεόρτιον, ἀναμέλποντες ἅπαντες, βοῶντες ὁμοφώνῳ καρδίᾳ· δόξα Χριστὲ τῇ εὐσπλαχνίᾳ σου.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα.

Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Θωμαΐδα τὴν θείαν καὶ οὐρανόφρονα, ἣν ἡ Λέσβος ὡς δένδρον εὔκαρπον ἤνεγκεν, ἀνυμνήσωμεν πιστοὶ ἐνθέοις ᾄσμασιν· ὅτι προσήγαγε Χριστῷ, τοὺς καρποὺς τῶν ἀρετῶν, καὶ δόξης μετέσχε θείας, ὑπὲρ ἡμῶν δυσωποῦσα, τῶν τὴν αὐτῆς τιμώντων κοίμησιν.

Προεόρτιον. Ὅμοιον.

Ὁ τῶν ὅλων Δεσπότης ὡς πολυεύσπλαχνος, τοῦ Ἀδὰμ τὴν πτωχείαν ἀναλαβόμενος, πρὸς Ἰορδάνην ποταμὸν σπεύδει θελήματι, ἀνακαθάραι τὸν Ἀδάμ, ἐκ τῆς ἀρχαίας ἀρᾶς, βαπτίσματι τῷ οἰκείῳ· ὅθεν ὑμνήσωμεν τούτου, τὴν ὑπὲρ λόγον συγκατάβασιν.

Τό α'. ἀντίφωνον τοῦ δ'. ἤχου.

Προκείμενον.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.
Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν.

Εὐαγγέλιον τὸ ἐν τῇ Λειτουργίᾳ
τοῦ Ἁγίου Σάββα.

Ὁ Ν'. Δόξα. Ταῖς τῆς σῆς Ὁσίας.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.
Ἰδιόμελον. Ἦχος πλ. β'.
Στίχ. Ἐλέησόν με ὁ Θεός.

Τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν ἀνύσασα, Θωμαῒς θεόφρον, ἐν πλατυσμῷ θείας ἀγάπης, τὰς τοῦ ἐχθροῦ πορείας ἀπεστένωσας, καὶ πρὸς πλάτος τῆς ἄνω βασιλείας ἐσκήνωσας. Αὐτῆς καὶ ἡμᾶς ἀξίωσον, ταῖς πρὸς Θεὸν πρεσβείαις σου, τοὺς τελοῦντας τὴν μνήμην σου.

Εἶτα οἱ κανόνες, ὁ Προεόρτιος ἐκ τοῦ Μηναίου, καὶ τῆς Ἁγίας ὁ ἑξῆς, οὗ ἡ ἀκροστιχίς.

Θωμαῒς ἡ θεόφρων ὑμνείσθω. Γερασίμου.

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Θεοῦ λαμπομένη ταῖς ἀστραπαῖς, Θωμαῒς θεόφρον, φωτοφόροις σου προσευχαῖς, λῦσον τῆς ἀγνοίας μου τὸν ζόφον, ὅπως ὑμνήσω Ὁσία τὴν μνήμην σου.

Ὠράθη μητρί σου τῇ εὐκλεεῖ, ἡ Θεογεννήτωρ, τὴν σὴν γέννησιν τὴν σεπτήν, ἐπαγγελλομένη θεοφόρε, ἔνθεν ὡς ἄνθος ἐφύης πανεύοσμον.

Μητρῴων προήχθης ἐξ ἀγκαλῶν, ἐν φόβῳ Κυρίου, καὶ ἐν ἤθεσιν ἱεροῖς, καὶ ὤφθης ζωῆς τῆς ἐναρέτου, καλλιεργοῦσα τὴν χάριν τὴν ἄφθονον.

Θεοτοκίον.

Ἁγνὴ Θεοτόκε Μῆτερ Θεοῦ, τὸν ἄναγνον νοῦν μου ἐπινοίαις ταῖς πονηραῖς, κάθαρον ῥοπῇ σου τῇ εὐσπλάγχνῳ, καὶ θεαρέστως βιοῦν με ἐνίσχυσον.

ᾨδὴ γ'. Σὺ εἶ τὸ στερέωμα.

Ἴθυνας τὸν βίον σου, πρὸς ἐντολῶν θείων πλήρωσιν, ὁλοσχερῶς, Θωμαῒς Ὁσία, καὶ Θεῷ εὐηρέστησας. Σύνευνον ὡς ἔσχηκας, ἀπανθρωπίᾳ κρατούμενον, τὰς παρ' αὐτοῦ, ἤνεγκας κακώσεις, θεολήπτῳ φρονήματι.

Ἤνεις τὸν Φιλάνθρωπον, προσομιλοῦσα ἑκάστοτε, πικραῖς πληγαῖς, χερσὶ τοῦ συζύγου, Θωμαῒς θερμῷ στόματι.

Θεοτοκίον.

Θραῦσον τὰ φρυάγματα, τὰ καθ' ἡμῶν τοῦ ἀλάστορος, Μῆτερ Θεοῦ, καὶ γαλήνην δίδου, τῇ ζωῇ ἡμῶν πάντοτε.

Κάθισμα . Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Τὸ σῶμα νεκρώσασα, ὑπομονῇ τῶν δεινῶν, τὸν νοῦν σου ἐπτέρωσας, πρὸς τὸν Θεὸν ἀκλινῶς, ἀγάπῃ τῇ κρείττονι· ὅθεν μετατεθεῖσα, πρὸς τὰς ἄνω σκηνώσεις, ῥεῖθρα ἀεὶ βλυστάνεις, ἰαμάτων ποικίλων, τοῖς πίστει προσιοῦσί σοι, Θωμαῒς ἀξιοθαύμαστε.

Ἐν ῥείθροις ἐφίσταται, τοῦ Ἰορδάνου Χριστός, αἰτούμενος βάπτισμα, εἰς σωτηρίαν ἡμῶν ὁ φύσει φιλάνθρωπος· δεῦρο ὦ Ἰωάννη, ἐξ ἐρήμου ἐν φόβῳ· χόρευε πᾶσα κτίσις, ἐκβοῶσα Κυρίῳ· ὑμνοῦμέν σου Φιλάνθρωπε, τὴν θείαν ἐπιφάνειαν

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Ἐν τῷ νόμῳ τοῦ Κτίστου σου, Μῆτερ τὸ σὸν θέλημα κατευθύνουσα, δένδρον πέφηνας κατάκαρπον, εὐσεβείας πάσης καὶ σεμνότητος.

Ὁ σὸς βίος ὑπόδειγμα, Θωμαΐς ὡράθη ταῖς ὑπὸ σύζυγον, γυναιξὶν οὔσαις θεόληπτε, καὶ στεργούσαις ζῆν ἐν καθαρότητι.

Φωτὸς θείου πεπλήρωσαι, οἷά περ δοχεῖον τοῦ θείου Πνεύματος, Θωμαΐς· ὅθεν ἀπήλασας, ἐξ ἀνθρώπων πνεύματα ἀκάθαρτα.

Θεοτοκίον.

Ῥάβδος ὤφθης θεόβλαστος, ἀποτίστως Κόρη κυοφορήσασα, ὥσπερ ἄνθος ζωῆς εὔοσμον, τὸν κρατοῦντα πάντα θείῳ νεύματι.

Ὠδὴ ε'. Ὀρθρίζοντες βοῶμέν σοι.

Ὡς ἔμπλεως φρονήσεως ἔφερες, τοῦ σοῦ ἀνδρός, Μῆτερ τὸ ἀπάνθρωπον, μαρτυρικῶς συμβιώσασα.

Νοΐ σου καθαρῷ ἀτενίζουσα, πρὸς τὸν Χριστόν, Θωμαΐς ὑπέμεινας, μεγαλοφρόνως τὰ χείρονα.

Ὑπέστης τῆς σαρκὸς τὰ ἐπώδυνα, καὶ τῆς σαρκός, παύεις τὰ παθήματα, τῇ τοῦ λειψάνου σου χάριτι.

Θεοτοκίον.

Μαρία Θεοτόκε Πανάχραντε, Μῆτερ Θεοῦ, λῦσον τῆς καρδίας μου, τὴν συνοχὴν καὶ τό ἄλγημα.

Ὠδὴ ϛ'. Τὴν δέησιν ἐκχεῶ.

Νηστείαις, καὶ οἰκτιρμοῖς τῶν πενήτων, θεραπεύουσα τὸν πάντων Δεσπότην, ὤφθης γυμνῶν περιβόλαιον Μῆτερ, καὶ ὀρφανῶν καὶ ἀπόρων περίθαλψις· ὅθεν ἀξίων ἀμοιβῶν, Θωμαῒς οὐρανόθεν ἠξίωσαι.

Ἐν πόνοις τόν σὸν τελέσασα βίον, πρὸς τὴν ἄπονον μεθέστηκας λῆξιν, καὶ πάντα πόνον καὶ θλῖψιν κουφίζεις, ταῖς πρὸς Χριστὸν θεοφόρε πρεσβείαις σου, τῶν προσιόντων εὐλαβῶς, Θωμαῒς τῇ θερμῇ ἀντιλήψει σου.

Ἰάσεις, ἐν τῇ σαρκὶ περιοῦσα, ἐπετέλεις ἐν τῇ θείᾳ δυνάμει, καὶ πρὸς Θεὸν μεταστᾶσα Ὁσία, θαυματουργεῖς ἰωμένη ἑκάστοτε, τοὺς προσιόντας εὐλαβῶς, τῇ σορῷ τοῦ ἁγίου λειψάνου σου.

Θεοτοκίον.

Σαρκοῦται, ἐκ τῶν ἁγνῶν σου αἱμάτων, ὁ τὸ εἶναι παρασχὼν τοῖς ἀνθρώποις, μὴ ἀποστὰς τῆς οἰκείας οὐσίας, καὶ τὸν πλανώμενον ἄνθρωπον ἔσωσε, Θεογεννῆτορ Μαριάμ, ὁ τῶν ὅλων Δεσπότης καὶ Κύριος.

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Πόνους πλείστους ἤνεγκας καὶ κακουχίας, Θωμαῒς πανθαύμαστε, ἐν τῇ δυνάμει τοῦ Χριστοῦ· ὅθεν ἀξίως δεδόξασαι, καὶ τῶν Ἁγίων ἐδέξω τὸν στέφανον.

Ὁ Οἶκος.

Ποικιλοτρόπως, ὢ σεμνή, ἐν τῷ παρόντι βίῳ, οἷά περ δούλη ἐκλεκτή, Χριστοῦ τοῦ βασιλέως, ἐδοκιμάσθης

ὡς χρυσός, ἐν τῇ καμίνῳ τῶν δεινῶν, πόνων καὶ δοκιμασιῶν, τῇ τοῦ οἰκείου εὐνέτου ἀπανθρώπῳ γνώμῃ, καὶ σκληροτάτῃ προθέσει, Θωμαῒς πανθαύμαστε, γυναικῶν σεμνὸν ἐγκαλλώπισμα· μαρτυρικὸν γὰρ ἤνυσας στάδιον, καὶ τῇ σῇ ἀπεριτρέπτῳ καρτερίᾳ καὶ ἀνενδότῳ ὑπομονῇ καὶ θεολήπτῳ φρονήσει, ᾔσχυνας τοῦ παλαμναίου ἐχθροῦ τὸ φρύαγμα, τοῦ κατὰ σοῦ κινοῦντος τὰς τοῦ συζύγου χεῖρας καὶ ὡς ἐν μαργάροις νοητοῖς, καὶ πολυτίμοις λίθοις, τοῖς μώλωψι καὶ ταῖς πληγαῖς, στολισθεῖσα τῆς σαρκός, νικηφόρος ἀνέδραμες ἐν τῷ νυμφῶνι τοῦ Κυρίου, λιποῦσα τοῖς πιστοῖς τὸ σὸν λείψανον, ἄφθαρτον, εὐῶδες θείᾳ ῥοπῇ, καὶ ἰατρεῖον παντοίων νοσημάτων· ἀξίως γὰρ παρὰ Χριστοῦ δεδόξασαι, καὶ τῶν ῾Αγίων ἐδέξω τὸν στέφανον.

Συναξάριον.

Τῇ γ'. τοῦ αὐτοῦ μηνός, Μνήμη τῆς Ὁσίας Μητρὸς ἡμῶν Θωμαΐδος τῆς θαυματουργοῦ, ἐκ τῆς νήσου Λέσβου καταγομένης, καὶ ἐν Κωνσταντινουπόλει κοιμηθείσης ὁσίως, ἔνθα καὶ τὸ σεπτὸν αὐτῆς λείψανον ἐσώζετο.

Στίχος.

Θλίψεσι λαμπρυνθεῖσα
Δόξης ἀρρήτου παρὰ Χριστοῦ μετέσχε.
Τριτάτῃ Θωμαΐδα πινυτόφρονα ἀείδειν θέμις.

Ὠδὴ ζ'. Παῖδες Ἑβραίων

Θαύμασι Μῆτερ ἐδοξάσθη, τὸ σὸν λείψανον, τῇ θεϊκῇ δυνάμει, ὅ ἐν κόλποις ποτέ, ἡ Κωνσταντίνου πόλις, κατέχουσα ἐκήρυττε, Θωμαΐς τὰς χάριτάς σου.

Ὤφθη τὸ θεῖον λείψανόν σου, κρήνη βρύουσα, ἰάματα ποικίλα· δαιμονῶντας καὶ γάρ, Ὁσία θεραπεύει, συσφίγγει παραλύτους δέ, καὶ ἰᾶται πᾶσαν νόσον.

Γέγονε Μῆτερ ἡ σορός σου, τοῖς προστρέχουσιν, ἐν πίστει ἰατρεῖον· θεραπεύει καὶ γάρ, παντοίας ἀσθενείας, θαυματουργοῦσα πάντοτε, παραδόξως τοῖς αἰτοῦσι.

Θεοτοκίον.

Ἔτεκες Κόρη ἀπορρήτως, τὸν ῥυσάμενον, ἡμᾶς ἐκ τῆς κατάρας, Ἰησοῦν τὸν Χριστόν, ᾧ ψάλλει πᾶσα κτίσις. Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ὠδὴ η'. Οἱ θεορρήμονες Παῖδες.

Ῥώμῃ τῇ θείᾳ ῥωσθεῖσα τὸ ἀσθενές σου, τὸν ἰσχυρὸν ἐν κακίᾳ κατεπολέμησας δράκοντα, καθυπομείνασα Μῆτερ, στερρῶς πᾶσαν κάκωσιν.

Ἀγαλλιᾶται ἡ Λέσβος τοῖς σοῖς σπαργάνοις, ἡ Κωνσταντίνου δὲ πλέον τῷ σῷ λειψάνῳ εὐφραίνεται· θαυμαστῶς γὰρ Ὁσία, Χριστός σε ἐδόξασεν.

Σωματικῶν ἀλγηδόνων ψυχῇ ἀνδρείᾳ, προσαγομένων κακούργως, παλάμαις ταῖς τοῦ συζύγου σου, οὐκ ἐφρόντισας Μῆτερ, Χριστὸν ἔχουσα στήριγμα.

Θεοτοκίον.

Ἵνα ὑμνῶ σου Παρθένε τὴν δυναστείαν, τῆς τοῦ ἐχθροῦ με μανίας, τῇ προστασίᾳ σου λύτρωσαι, καὶ ἰσχύν μοι παράσχου, πατεῖν αὐτοῦ τὰ ἔνεδρα.

Ὠδὴ θ΄. Ἔφριξε πᾶσα ἀκοή.

Μάρτυς ἐδείχθης ἀληθής, ἐν παντὶ τῷ βίῳ Μῆτερ ἀθλήσασα, ποικίλαις θλίψεσι, καὶ κακουχίαις καὶ περιστάσεσι· καὶ νῦν Ὁσία Θωμαΐς, Μαρτύρων ταῖς τάξεσι, λαμπρῶς ἠρίθμησαι, θεωροῦσα τοῦ Θεοῦ τὴν λαμπρότητα.

Ὅρμον κατέλαβες ζωῆς, διαπλεύσασα τοῦ βίου τὴν θάλασσαν, αὔραις τοῦ Πνεύματος, κυβερνωμένη καὶ κατεσκήνωσας, ἔνθα ῾Αγίων οἱ χοροί, ὧν ὤφθης ἰσότιμος, Θωμαῒς πάνσεμνε, καὶ συνέσει καὶ ζωῆς καθαρότητι.

Ὕμνοις μὲν πάλαι ἱεροῖς, τὸ Βυζάντιον ἐτέλει τὴν μνήμην σου, ἔχον τὸ σκῆνός σου, θαυμάτων βρύον χάριν ἀέναον· νῦν δὲ Λεσβίων οἱ χοροί, φαιδρῶς εὐφημοῦμέν σε, καὶ ἐκβοῶμέν σοι· Θωμαῒς ἔσο ἡμῖν φύλαξ ἄγρυπνος.

Θεοτοκίον.

Ὕψιστον τέξασα Θεόν, ἐξ ἀχράντων σου λαγόνων Πανάχραντε, περιγραφόμενον, ὕλῃ βροτείᾳ τὸν ἀπερίγραπτον, ἐκ τοῦ βυθοῦ με τῶν κακῶν, ἀνύψωσον δέομαι, τῇ εὐσπλαγχνίᾳ σου, πρὸς ζωὴν με ἐπανάγουσα κρείττονα.

Ἐξαποστειλάριον.
Τῶν Μαθητῶν ὁρώντων σε.

Ὡς προσφορὰν ἁγἰαν καὶ πανευώδη, τοὺς τοῦ σοῦ βίου Μῆτερ στερροὺς ἀγῶνας, ὁ ἀθλοθέτης Λόγος προσδεξάμενος, θεοπρεπῶς, δοξάζει σε, θαυματουργίαις ποικίλαις, ὦ Θωμαῒς μακαρία.

Προεόρτιον. Ὅμοιον.

Πρὸς Ἰορδάνου ρεῖθρα δι' εὐσπλαγχνίαν, οἷα βροτὸς μολεῖ νῦν ὁ πάντων Κτίστης· δεῦτε τούτῳ πάντες ὑπαντήσωμεν, προεορτίως ᾄδοντες, δοξολογίας καὶ ὕμνους, αὐτοῦ τῇ θείᾳ κενώσει.

Εἰς τοὺς Αἴνους.
Ιστῶμεν στίχους δ'. καὶ ψάλλομεν τὰ ἑξῆς
Προσόμοια. Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Αἱ τῶν Λεσβίων χορεῖαι πανηγυρίσωμεν, τὴν μνήμην τὴν ἁγίαν, τῆς σεπτῆς Θωμαΐδος· αὕτη γὰρ ὁσίως ἐπὶ τῆς γῆς τῷ Θεῷ εὐηρέστησε, πόνοις πολλοῖς ὁμιλήσασα ἀνδρικῶς, τοῦ εὐνέτου τῇ σκαιότητι.

Τίς τὴν πολλήν σου ἀνδρείαν ὑμνήσει πάνσεμνε; σὺ γὰρ ὥσπερ ἀδάμας, τὴν ἀπάνθρωπον γνώμην, ἐν ὅλῳ σου τῷ βίῳ καρτερικῶς, τοῦ συζύγου ὑπέμεινας· ὅθεν Θεός σε ἐδόξασε Θωμαΐς, ἐν σημείοις τε καὶ θαύμασι.

Τοῦ Κωνσταντίνου ἡ πόλις πάλαι ἠγάλλετο, κατέχουσα Ὁσία, τὸ σὸν ἅγιον σῶμα, θαυμάτων ἐνεργείαις περιφανῶς, δοξασθὲν θείῳ Πνεύματι· νῦν δὲ ἡμεῖς τῇ πρεσβείᾳ σου Θωμαΐς, προσιόντες εὐφημοῦμέν σε.

Ἡ νῆσος Λέσβος χορεύει ἐν τοῖς σπαργάνοις σου, καὶ τὴν σεπτήν σου μνήμην, Θωμαῒς μακαρία, προθύμως ἑορτάζει, καὶ ἐκβοᾷ· τὴν πατρίδα σου φύλαττε, καὶ σὺν αὐτῇ πᾶσαν πόλιν τῶν εὐσεβῶν, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

Δόξα. Ἦχος πλ. α'.

Τὰς ἐν κόσμῳ θλίψεις σου, ἃς ἐν πολλῇ συνέσει ἐδέξω, ἡ οὐράνιος βασιλεία, διεδέξατο Ὁσία· σὺ γὰρ ὡς πόλις ἀνάλωτος, οὐκ ἐκάμφθης ἐν τοῖς πόνοις, ἀλλὰ τῇ τούτων βίᾳ, στερροτέραν ἀπειργάσω, τὴν ψυχὴν ἐν τοῖς πειρασμοῖς· πάντων γὰρ περιεγένου, ἐν τῷ ἐνδυναμοῦντί σε Χριστῷ, καὶ ἐν πᾶσι κατισχύσασα, τῆς αἰωνίου ζωῆς, τὸν στέφανον ἐκομίσω. Αὐτῆς καὶ ἡμᾶς, ἀξιωθῆναι πρέσβευε, Θωμαῒς πανθαύμαστε.

Καὶ νῦν. Ὁ αὐτός. Προεόρτιον.

Ἐν Ἰορδάνῃ ποταμῷ, Χριστὸς ὁ Θεὸς ἡμῶν, μολεῖ πρὸς τὸ βάπτισμα, καθᾶραι θέλων ἡμᾶς ἐκ τῶν ἀνομιῶν ἡμῶν, τῇ αὐτοῦ ἐπιφανείᾳ, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ συνήθη. Ἀπόστολον ζήτει τῇ κ'. Ἰανουαρίου, Εὐαγγέλιον τῇ ιγ'. Ὀκτωβρίου. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

## Μεγαλυνάριον.

Ἤθλησας ἐν πόνοις μαρτυρικοῖς, Θωμαῒς Ὁσία, καὶ κατῄσχυνας τὸν ἐχθρόν· ὅθεν ἐδοξάσθης παρὰ Θεοῦ πλουσίως, καὶ νέμεις τοῖς αἰτοῦσι, τὴν σὴν βοήθειαν.

## Δίστιχον.

Δέξαι Θωμαῒς τὸν παρόντα μου ὕμνον.
Ὅν σοι Γεράσιμος ἀνέπλεξεν ἤδη.

